6. (*Des signes qui, dans l'hydropisie, annoncent une terminaison heureuse ou funeste. De l'hydropisie qui survient après des pertes de sang par le haut et par le bas.*) Celui qui est affecté d'hydropisie et qui doit réchapper, doit avoir de bons viscères, qui en même temps se développent naturellement et digèrent bien, avoir une bonne respiration sans douleur, avoir tout le corps également chaud ; les extrémités ne seront pas exténuées ; des gonflements y vaudraient mieux que l'exténuation ; le meilleur est qu'il n'y ait ni l'un ni l'autre, mais que les extrémités soient souples et sèches. Le ventre sera souple au toucher ; point de toux, point de soif, point de sécheresse de la langue, pas plus après le sommeil que dans le reste du temps, accidents qui sont fréquents. Les aliments seront reçus avec plaisir ; et, pris en quantité suffisante, ils ne causeront pas de douleur. Le ventre obéira sans retard aux évacuants ; dans le reste du temps les selles seront molles et moulées. L'urine se montrera conformément au régime et aux changements des vins. La fatigue sera facilement supportée ; il n'y aura pas de lassitude. Le mieux est que le sujet offre cet ensemble de dispositions, c'est de la sorte que le rétablissement sera le plus sûr ; sinon, plus il aura de ces conditions, plus la chance sera pour qu'il guérisse ; mais celui qui n'en a aucune et qui a les conditions contraires est, sachez-le, sans espérance ; et celui qui n'a que peu de ces conditions que je dis être bonnes à l'hydropique n'a non plus que peu de chances en sa faveur. Celui qui perd beaucoup de sang par le haut et par le bas, et chez qui la fièvre survient, est grandement exposé à devenir plein d'eau ; des hydropisies c'est celle qui dure le moins, et elle est parmi les plus désespérées ; c'est un pronostic dont il faut informer une personne d'autour le malade. Ceux chez qui de grands gonflements surviennent, puis s'affaissent et derechef se soulèvent, ceux-là guérissent plus volontiers que les

[11] γιν. vulg. - γεν Jρ.-ἐμπιπραμένων vulg.-ἐμπιπλαμένων DHK', Ops., probat Foes in not., Lind. - ἐμπιμπλαμμένων Mack.

οὗτοι δὲ μᾶλλον περιγίνονται τῶν ἐκ τῶν αἱμάτων τῆς ἀναῤῥήξιος ἐμπιπλαμένων· ἐξαπατέουσι δὲ τοὺς ἀλγέοντας οὗτοι οἱ ὕδρωπες, ὥστε ποιέουσιν αὐτοὺς [1] ἀπιστέοντας τοῖσιν ἰητροῖσιν ἀπόλλυσθαι.

7. [2] Περὶ δὲ τῶν φθινόντων κατὰ μὲν τὸ πτύελον καὶ τὴν βῆχα ταὐτὰ λέγω ἅπερ περὶ τῶν ἐμπύων ἔγραφον. Χρὴ γὰρ τὸ πτύελον τῷ μέλλοντι καλῶς ἀπαλλάξειν εὐπετέως τε ἀναβήσσεσθαι καὶ εἶναι λευκὸν, καὶ ὁμαλὸν, καὶ ὁμόχροον, καὶ ἀφλέγμαντον, τὸ δ' ἀπὸ τῆς κεφαλῆς καταῤῥέον [3] ἐς τὰς ῥῖνας τρέπεσθαι· πυρετὸν δὲ μὴ [4] λαμβάνειν, ἢ τοσοῦτον λαμβάνειν, ὥστε τῶν δείπνων μὴ κωλύεσθαι, μηδὲ διψῆν· ἡ δὲ γαστὴρ ὑποχωρείτω πᾶσαν ἡμέρην, καὶ τὸ ὑποχωρέον [5] ἔστω σκληρὸν, πλῆθος δὲ κατὰ τὰ εἰσιόντα· τὸν δὲ ἄνθρωπον ὡς ἥκιστα λεπτὸν εἶναι· τὸ δὲ στῆθος ἐπαινεῖν χρὴ τετράγωνόν [6] τε ἐὸν καὶ λάσιον, καὶ ὁ χόνδρος αὐτοῦ μικρὸς ἔστω καὶ σεσαρκωμένος ἰσχυρῶς. Ὅστις μὲν γὰρ [7] ταῦτα πάντα ἔχει, περιεστικώτατος γίνεται· ὃς δ' ἂν μηδὲν τούτων ἔχῃ, ὀλεθριώτατος. Ὅσοι δ' ἂν ἔμπυοι γένωνται, νέοι ἐόντες, ἐξ ἀποσκήψιος, ἢ σύριγγος, ἢ [8] ἀπ' ἄλλου τινὸς τῶν τοιούτων, ἢ ἐκ παλινδρομίης ἀποστάσιος, οὐ περιγίνονται, ἢν μὴ πολλὰ κάρτα αὐτοῖσιν ἐπιγένηται τῶν ἀγαθῶν σημείων. Ἀπόλλυνται [9] δὲ οἱ ἄνθρωποι οὗτοι ἐς τὸ φθινόπωρον· ἰσχυρῶς [10] δὲ καὶ ἐκ τῶν ἄλλων νοσημάτων [11] τῶν μακρῶν ἐς τὴν ὥρην ταύτην τελευτῶσιν οἱ πλεῖστοι. Τῶν δ' ἄλλων ἥκιστα περιγίνονται αἵ τε παρθένοι καὶ αἱ γυναῖκες, [12] ᾗσιν ἀπολήψει ἐπιμηνίων ἡ φθίσις γένηται. Εἰ δὲ [13] μέλλοι τις περιέσεσθαι τῶν παρθένων ἢ τῶν γυναικῶν, τῶν τε ἄλλων σημείων [14] τῶν ἀγαθῶν δεῖ πολλὰ ἐπιγενέσθαι καὶ τὰ ἐπιμήνια λαμπρῶς τε καὶ καθαρῶς ἐπιφαίνεσθαι, ἢ [15] οὐδεμία ἐλπίς. Οἱ δὲ ἐκ τῶν αἱμάτων τῆς

[1] Ἀπιόντας vulg. - ἐπιόντας α. - ἀπιθόντας (aor. 2), non obedientes, Coray, Mus. Oxon. Conspect., p. 9. - ἀπιστέοντας al. manu H. - ἰατροῖσιν Up. — [2] περὶ φθινόντων in tit. J. - ταῦτα HJUp, Frob., Mack. — [3] εἰς vulg. - ἐς H, Lind. — [4] In marg. ἢ τοσοῦτον λαμβάνειν H. - ἢ τ. λαμβ. om. vulg. - Celse, II, 8 : Longe optimum est, febrem omnino non esse; secundum est, tantulam esse, ut neque cibum impediat, neque crebram sitim faciat. - ὕπνων pro δείπνων Codd. quidam ap. Foes in not., Calvus. — [5] ἔσται J. - Ante χρὴ addit γε D. — [6] γε DHKp, Ald. — [7] πάντα ταῦτα J. - περιεστηκότατος vulg. - περιεκτικώτατος L, Ops., Lind. - Erot., p. 286 a la glose : περιεκτικὸν, σωτήριον. Schneider, après avoir hésité, donne, dans son Suppl., la préférence à περιεκτικός. - γίνηται U. - ἀλλοτριώτατος J. — [8] ὑπ. al manu H. — [9] δὲ om. D. — [10] δὲ om. D. - ἐκ om. Up. - νουσ. Lind., Mack. — [11] τῶν J.

patients devenus hydropiques après les éruptions de sang; mais ces hydropisies déçoivent les malades, qui, n'obéissant pas aux médecins, périssent.

7. (*Des phthisiques et du pronostic de la phthisie.*) Pour les phthisiques je dis, quant à l'expectoration et à la toux, la même chose que ce que j'ai écrit au sujet des empyèmes. Chez celui qui doit s'en tirer heureusement, il faut que l'expectoration soit rendue avec facilité et soit incolore, uniforme, de même couleur et sans pituite; que ce qui coule de la tête se tourne vers les narines (*des Glandes*, §§ 13 et 14); qu'il n'y ait pas de fièvre ou qu'il n'y en ait pas assez pour faire interdire le dîner ou pour causer de la soif; que le ventre évacue tous les jours, et que l'évacuation soit dure et en rapport, pour la quantité, avec les aliments ingérés; et que le sujet ne soit aucunement exténué. On louera une poitrine carrée et velue; le cartilage en sera petit et bien garni de chair. Celui qui a toutes ces conditions est le plus à l'abri du péril; celui qui n'en a aucune est le plus en danger. Les jeunes gens dont la poitrine suppure à la suite soit d'un dépôt, soit d'une fistule, soit de quelque autre chose de ce genre, soit d'une rétrocession de dépôt, ne réchappent pas, à moins qu'ils n'aient un bien grand nombre des bons signes. Les phthisiques meurent à l'automne; au reste c'est en général en cette saison que succombent la plupart de ceux qui sont affectés des autres maladies chroniques. Parmi les phthisiques, le moins de chances est pour les jeunes filles et les femmes chez qui la phthisie est la suite de la suppression des menstrues. Si quelqu'une, fille ou femme, doit réchapper, il faut, outre l'abondance des bons signes, que les règles se montrent d'une façon décisive et sans aucune altération;

-τῶν om. vulg.-ὥραν vulg.-ὥρην H. — [12] οἶσιν U. — ἀπολείψει DH.-ἀπολήψεις J.-εἰ pro ἡ J.-ἢ pro ἡ D.-Celse a mis : quibus super tabem menstrua suppressa sunt. Il paraît avoir eu sous les yeux un texte analogue à celui du ms. J. — [13] μέλλει J. — [14] τῶν τε ἀγαθῶν vulg.-Tous les mss. ont ce τε, ainsi que toutes les éditions, excepté celle de Kühn. Je crois qu'en effet τε doit disparaître. — [15] οὐδεμίη Lind., Mack.-οἱ δὲ om. J.-γενόμενοι α.

ἀναῤῥήξιος ἔμπυοι γινόμενοι τῶν τε ἀνδρῶν καὶ τῶν γυναικῶν καὶ τῶν παρθένων περιγίνονται μὲν οὐχ ἧσσον, τὰ δὲ σημεῖα χρὴ πάντα [1] ἀναλογισάμενον τά γε περὶ τῶν ἐμπύων καὶ τῶν φθινόντων προλέγειν τόν τε περιεσόμενον καὶ τὸν ἀπολούμενον. Μαλίστα δὲ περιγίνονται ἐκ τῶν [2] τοῦ αἵματος ἀναῤῥήξεων οἷσιν ἂν ἀλγήματα ὑπάρχῃ μελαγχολικὰ ἔν τε τῷ νώτῳ καὶ [3] ἐν τῷ στήθει, καὶ μετὰ τὴν ἀνάῤῥηξιν ἀνωδυνώτεροι γένωνται· βῆχές τε γὰρ οὐ κάρτα ἐπιγίνονται, [4] καὶ πυρετοὶ οὐ πλεῖστοι διατελέουσιν ἐόντες, [5] καὶ δίψαν εὐπετέως φέρουσιν· ὑποστροφαὶ δὲ τῆς ἀναῤῥήξιος μάλιστα γίνονται τούτοισιν, εἰ μὴ ἀποστάσιες [6] ἐπιγίνονται· ἄρισται δὲ τῶν ἀποστασίων αἱ αἱματηρόταται. Ὁκόσοισι δὲ ἐν τοῖσι στήθεσιν ἀλγήματα ἔνεστι, καὶ διὰ χρόνου λεπτύνονταί τε καὶ βήσσουσι, καὶ δύσπνοιαι γίνονται, οὔτε πυρετῶν ἐπιλαμβανόντων, οὔτε [7] ἐμπυημάτων ἐπιγινομένων, τούτους ἐπανερέσθαι, ὁκόταν βήσσωσί τε καὶ δύσπνοοι [8] ἔωσιν, εἰ ξυνεστραμμένον τι καὶ μικρὸν, ὀδμὴν ἔχον, ἐκβήσσουσιν.

8. [9] Περὶ δὲ ποδαγρώντων τάδε· ὅσοι [10] μὲν γέροντες ἢ περὶ τοῖσιν ἄρθροισιν ἐπιπωρώματα ἔχουσιν, ἢ [11] τρόπον ἀταλαίπωρον ζῶσι κοιλίας ξηρὰς ἔχοντες, οὗτοι μὲν πάντες [12] ἀδύνατοι ὑγιέες γίνεσθαι ἀνθρωπίνῃ τέχνῃ, ὅσον ἐγὼ οἶδα· [13] ἰῶνται δὲ τούτους ἄριστα

[1] Ἀναλγισάμενον F. – τά τε vulg. – Lisez τά γε. – ἀπολλύμενον vulg. – Lisez ἀπολούμενον, comme plus haut ἀπολουμένους p. 8, l. 5. — [2] τοῦ DFGHIJKαρ, Ops. – τοῦ om. vulg. – ἀναῤῥήξιων Lind. – ἀναῤῥηξίων Mack. – ὑπάρχοι J. – ὑπάρχει K. — [3] ἐν om. D. – καὶ μ. τ. ἀν. om. K. – ἀνωδυνότεροι HU, Ald., Frob. – ἀνωδυνότερα J. — [4] καὶ πυρ. οἱ (οἳ Jα) (ante πλ. addit κάρτα J; δὲ Lind.) πλεῖστοι vulg. – Au lieu de οἱ ou οἳ, je lis οὐ; ce qui va avec des corrections subséquentes données par des mss. A la vérité, Calvus traduit: Tussis autem febrisque his non fere supervenit; plurimi vero sunt qui sitim usquequaque facile ferunt. Cette version appuie la correction de Lind., qui ajoute δέ; mais cela ne suffirait pas; car alors on ne sait plus que faire de ἐόντες. — [5] καὶ H. – καὶ om. vulg. – φέροντες vulg. – φέρουσι FG. — [6] ἐπιγένωνται vulg. – ἐπιγένονται ρ. – εἰ ne se construit pas avec le subj.; l'aoriste ne va pas bien ici. Lisez donc ἐπιγίνονται. – ἄριστα Ops. – ἀποστάσιων Lind. – αἱματηρότεραι α. — [7] ἐκπ. DHIJKρ, Ald., Frob. – ἐπανέρεσθαι DFGHJK, Ald., Ops., Lind., Mack. – δύσπνοιοι IU. — [8] ἔωσι (ἐῶσι FI, Ald.), καὶ (ante καὶ addunt εἰ K', Mack.; ἢ pro καὶ al. manu H) ξυν. (σ. Mack.) vulg. – Il faut profiter de la correction offerte par H, pour effacer καὶ et y substituer εἰ. – μικρὴν vulg. – μικρὸν FGHIJLα, Ald., Frob. – ἐκβήσσωσι vulg. – ἐκβήσσωσι provient de la fausse leçon καί. Avec εἰ il faut ἐκβήσσουσι. — [9] περὶ δὲ (δὲ om. G) ποδαγριόντων in tit. FG. – π. δὲ π. τάδε om. K. – δὲ om. Ald. –

autrement il n'y a pas d'espoir. Ceux dont la poitrine suppure à la suite d'hémoptysies, hommes, femmes et jeunes filles, ont des chances de guérison ; mais il faut, comparant tous les signes, ceux des suppurations de poitrine et des phthisies, prédire qui guérira et qui succombera. Il y a surtout chance de se rétablir à la suite d'hémoptysies pour ceux qui ont des douleurs dues à l'atrabile dans le dos et dans la poitrine, douleurs qui s'allégent après l'hémorrhagie ; en effet ils n'ont pas beaucoup de toux, la fièvre ne persiste pas avec une grande force, et ils supportent facilement la soif. C'est chez eux que les récidives de l'hémoptysie sont le plus fréquentes, à moins de dépôts ; les meilleurs des dépôts sont ceux qui ont le plus de sang. A ceux qui ont des douleurs dans la poitrine, qui à la longue s'amaigrissent, toussent et éprouvent de la dyspnée, sans fièvre qui survienne ni empyème qui se forme, il faut demander si, quand ils toussent et ont la respiration gênée, ils n'expectorent pas quelque grumeau congloméré, petit et de mauvaise odeur.

8. (*Des goutteux et du pronostic dans la goutte.*) Quant aux goutteux, ceux qui sont vieux ou qui ont des concrétions autour des articulations, ou qui mènent une vie oisive et ont le ventre resserré, tous ceux-là sont au-dessus des ressources de l'art humain, autant du moins que je sache. Ce qui les guérit le mieux, ce sont des dyssenteries, si elles surviennent ; et, en

ποδαγρῶν JP'. -ποδαγρώντων DHIXUρ.-ποδαγριώντων vulg.—[10] μὲν ἢ (ἢ om. X) γ. ἢ (ἢ om. Lind.) vulg.— [11] τρόπον ταλαίπωρον vulg.-Si l'on avait un plus grand nombre de mss. à consulter, je pense qu'on en trouverait quelqu'un portant ἢ τρόπον μὴ ταλαίπωρον. En effet il semble qu'il doit être ici question non de vie laborieuse, mais de vie oisive et de ventre resserré, par opposition à vie active et ventre libre qui se trouve quelques lignes plus bas. Ceci, je l'avais écrit indépendamment d'une note de Coray (des Airs, des Eaux et des Lieux, 1800, t. II, p. 210) qui, par les mêmes raisons, lit ἀταλαίπωρον ; et je n'ai pas voulu l'effacer parce que, n'ayant pas osé d'abord et tout seul modifier le texte de vulg., cette concordance m'a décidé. — [12] ἀδύνατον F. — [13] ἰ. μὲν (δὲ pro μὲν al. manu H) τ. vulg.-Coray, ib., propose μέντοι. Le δὲ de H justifie la conjecture à la fois et la rend inutile.

μὲν δυσεντερίαι, ἢν ἐπιγένωνται, ἀτὰρ καὶ ἄλλαι ἐκτήξιες ὠφελέουσι κάρτα [1] αἱ ἐς τὰ κάτω χωρία ῥέπουσαι. Ὅστις δὲ νέος ἐστὶ καὶ ἀμφὶ τοῖσιν ἄρθροισιν οὔπω ἐπιπωρώματα ἔχει καὶ τὸν τρόπον ἐστὶν ἐπιμελής τε καὶ φιλόπονος καὶ κοιλίας ἀγαθὰς ἔχων ὑπακούειν πρὸς τὰ ἐπιτηδεύματα, οὗτος [2] δὴ ἰητροῦ γνώμην ἔχοντος ἐπιτυχὼν ὑγιὴς ἂν γένοιτο.

9. Τῶν δ' ὑπὸ τῆς ἱερῆς [3] νόσου λαμβανομένων χαλεπώτατοι μὲν ἐξίστασθαι, ὁκόσοισιν ἂν ἀπὸ παιδὸς [4] ξυμβήσηται καὶ [5] συνανδρωθῇ τὸ νόσημα· ἔπειτα δὲ ὅσοισιν ἂν γένηται ἐν ἀκμάζοντι τῷ σώματι τῆς ἡλικίης, εἴη δ' ἂν ἀπὸ εἴκοσι καὶ πέντε ἐτέων ἐς πέντε καὶ τεσσαράκοντα ἔτεα· μετὰ δὲ τούτους, [6] ὅσοις ἂν γένηται τὸ νόσημα μηδὲν προσημαῖνον, [7] ὁκόθεν ἄρχεται [8] τοῦ σώματος. Οἷσι δὲ ἀπὸ τῆς κεφαλῆς δοκέει ἄρχεσθαι, ἢ ἀπὸ τοῦ πλευροῦ, ἢ ἀπὸ τῆς χειρὸς, ἢ [9] τοῦ ποδὸς, εὐπετέστερα ἰῆσθαι· διαφέρει [10] γὰρ καὶ ταῦτα· τὰ γὰρ ἀπὸ τῆς κεφαλῆς τούτων χαλεπώτατα· ἔπειτα τὰ ἀπὸ τοῦ πλευροῦ· τὰ δὲ ἀπὸ τῶν [11] χειρῶν καὶ ποδῶν μάλιστα οἷά τε ἐξυγιαίνεσθαι. Ἐπιχειρέειν δὲ χρὴ [12] τουτέοισι τὸν ἰητρὸν, εἰδότα τὸν τρόπον τῆς ἰήσιος, ἢν ἔωσιν οἱ ἄνθρωποι νέοι τε καὶ φιλόπονοι· πλὴν [13] ὅσον αἱ φρένες τι κακὸν ἔχουσιν, ἢ εἴ τις ἀπόπληκτος γέγονεν· αἱ [14] μὲν γὰρ μελαγχολικαὶ αὗται ἐκστάσιες οὐ λυσιτελέες· αἱ δὲ ἄλλαι αἱ [15] ἐς τὰ κάτω τρεπόμεναι πᾶσαι ἀγαθαί· ἄρισται δὲ καὶ ἐνταῦθα [16] πολλῷ αἱ αἱματηρόταται. Ὁκόσοι δὲ γέροντες ἤρξαντο λαμβάνεσθαι, ἀποθνήσκουσί τε μάλιστα, καὶ ἢν [17] μὴ ἀπόλωνται, τάχιστα ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου, ὑπὸ δὲ τῶν ἰητρῶν ἥκιστα ὠφελέονται.

10. Οἷσι δὲ τῶν παιδίων ἐξαπίνης οἱ ὀφθαλμοὶ διεστράφησαν, ἢ μεῖζόν τι κακὸν ἔπαθον, ἢ φύματα ὑπὸ [18] τὸν αὐχένα ἐφύη, ἢ ἰσχνο-

[1] Αἱ om. J. — [2] δὲ HJUρ. – δὴ om. DX. — [3] νούσου Lind. Mack. – χαλεπώταται Lind. – ὁκόσοισι δ' (δ' om. DHIKXK', Ops., Lind., Mack.) ἂν vulg. — [4] ξυμβήσεται (σ. Mack) vulg. – ξυμβήσοιτο J. – ξυμβήσηται DHU, Ops. — [5] ξ. Lind. – νούσημα Lind., Mack. – ἡλικίας ρ. – [καὶ] εἴη δ' ἂν Mack. — [6] ὅσοισιν Lind. – νούσημα vulg. – νόσημα Uρ, Ops. — [7] ὁπόθεν ρ. — [8] τὸ νούσημα pro τοῦ σώματος J. – τῆς om. Xρ. — [9] τοῦ JK. – τοῦ om. vulg. – ἰῆσθαι DH. – ἰᾶσθαι vulg. — [10] δὲ pro γὰρ K'. – καὶ om. X. — [11] χ. τε (τε om. Uρ) καὶ τῶν (τῶν om. DHJKXUρ) π. vulg. — [12] τ. om. X. – ἰατρὸν J. – εἰδῶτα Frob. – ἰήσεως J. — [13] ὅσων J. — [14] μὲν om. IJKUρ. – γὰρ om. H. — [15] εἰς vulg. – ἐς H. – ἐκστάσιες paraît être pris dans le sens de ἀποστάσιες. C'est

général, les autres colliquations qui se portent vers les parties inférieures sont utiles. Mais celui qui est jeune, qui n'a pas des concrétions autour des articulations, qui soigne son genre de vie, aime l'exercice et a le ventre obéissant aux choses administrées, celui-là, rencontrant un médecin intelligent, guérira.

9. (*Des épileptiques et du pronostic dans l'épilepsie.*) Parmi les patients affectés de la maladie sacrée, ceux-là ont le plus de peine à en sortir chez qui le mal est d'enfance et a crû avec eux; puis ceux chez qui il est survenu, le corps étant dans la force de l'âge, c'est-à-dire depuis vingt-cinq ans jusqu'à quarante-cinq; enfin, ceux chez qui la maladie se montre sans indiquer d'avance le point du corps où elle commence. Quand elle paraît partir de la tête, ou du côté, ou de la main, ou du pied, elle est plus aisée à guérir. En cela même il y a des différences; les cas où la tête est le point de départ sont les plus fâcheux, puis ceux qui viennent du côté; enfin ceux qui viennent des mains et des pieds sont les plus susceptibles de guérison. Le médecin, connaissant le mode du traitement, l'entreprendra, si les sujets sont jeunes et amis du travail, à moins que l'intelligence ait quelque chose de mal ou qu'il ne survienne des accidents apoplectiques; ces transports atrabilaires ne sont pas favorables, mais tous les autres transports qui se tournent vers le bas sont utiles; là aussi les dépôts où il y a le plus de sang sont les meilleurs. Les vieillards chez qui le mal commence y succombent généralement; s'ils ne meurent pas, ils en guérissent très-vite spontanément, mais les médecins ne leur sont guère de secours.

10. (*Accidents, chez les enfants, qui indiquent qu'il y a eu antécédemment quelque attaque d'épilepsie.*) Ceux des enfants

pour cela que, en place de τρεπόμεναι πᾶσαι, Cornarius voulait lire πᾶσαι ἀποστάσιες. — [16] πολλαὶ D. – αἱματηρότατοι HIJKρ, Ald., Frob. – ὁκόσοι DP', Lind., Mack. – ὁπ. vulg. — [17] μὴ om. K. – ἀπόλλωνται vulg. – ἀπώλλωνται ρ. – ἀπόλωνται HIJX, Ops., Lind., Mack. – ἥκιστ' Ops. — [18] τὸν om. DX. – ἐφύει H.

φωνότεροι ἐγένοντο, ἢ βῆχες ξηραὶ [1] χρόνιοι προσέχουσιν, ἢ ἐς τὴν γαστέρα μείζοσι γενομένοισιν ὀδύνη φοιτᾷ, καὶ οὐκ ἐκταράσσεται, ἢ ἐν τοῖσι πλευροῖσι διαστρέμματα ἔχουσιν ἢ φλέβας [2] παχέας περὶ τὴν γαστέρα κιρσώδεας, ἢ ἐπίπλοον καταβαίνει, ἢ ὄρχις μέγας γέγονεν, ἢ χεὶρ λεπτὴ καὶ ἀκρατὴς, ἢ ποὺς, ἢ κνήμη [3] ξύμπασα ἐχωλώθη, ἄτερ προφάσιος ἄλλης, τούτοισι πᾶσιν εἰδέναι ὅτι ἡ νοῦσος [4] προεγένετο πρὸ τούτων ἁπάντων, καὶ οἱ μὲν πλεῖστοι τῶν τρεφόντων τὰ παιδία ἐρωτώμενοι ὁμολογήσουσι, τοὺς δὲ καὶ λανθάνει, καὶ οὔ φασὶν εἰδέναι τοιοῦτον οὐδὲν γενόμενον.

11. Τὸν δὲ περὶ τῶν ἑλκέων μέλλοντα [5] γνώσεσθαι, ὅκως ἕκαστα τελευτήσει, πρῶτον μὲν χρὴ τὰ εἴδεα τῶν ἀνθρώπων ἐξεπίστασθαι, [6] τά τε ἀμείνω πρὸς τὰ ἕλκεα καὶ τὰ κακίω· ἔπειτα τὰς ἡλικίας εἰδέναι, [7] ὁποίῃσιν ἕκαστά τῶν ἑλκέων δυσαπάλλακτα γίνεται· τά τε χωρία ἐπεσκέφθαι τὰ ἐν τοῖσι σώμασιν, ὅσον διαφέρει θάτερα θατέρων· τά τε ἄλλα [8] ὁκοῖα ἐφ' ἑκάστοισιν ἐπιγίνεται ἀγαθά τε καὶ κακὰ εἰδέναι. Εἰδὼς μὲν γὰρ ἄν τις ταῦτα πάντα [9] εἰδῇ ἂν καὶ ὅκως ἕκαστα ἀποβήσεται· μὴ εἰδὼς δὲ ταῦτα, οὐκ ἂν [10] εἰδῇ, ὅκως αἱ τελευταὶ ἔσονται ἀμφὶ τῶν ἑλκέων. Εἴδεα μὲν γὰρ ἀγαθά ἐστι τὰ τοιάδε· ἐλαφρὰ καὶ [11] ξύμμετρα, καὶ εὔσπλαγχνα, καὶ μήτε σαρκώδεα ἰσχυρῶς μήτε σκληρά· κατὰ δὲ χρῶμα ἔστω [12] λευκὸν, ἢ μέλαν, ἢ ἐρυθρόν· ταῦτα γὰρ πάντα ἀγαθὰ ἄκρητα ἐόντα· εἰ δ' εἴη [13] μιξόχλωρον, ἢ χλωρὸν, ἢ πελιδνὸν τὸ χρῶμα, κάκιον γίνεται. Τὰ δὲ εἴδεα ὅσα ἂν τοῖσι προγεγραμμένοισι τἀναντία πεφύκῃ, εἰδέναι χρὴ κακίω ἐόντα. Περὶ δὲ ἡλικιῶν, φύματα μὲν [14] ἔμπυα καὶ τὰ

[1] Χρόνιοι ponit post προσέχουσιν K. – χρόνιαι Ops., Lind. — [2] παχείας Lind., Mack. – κυρσώδεας H. – καταβαίνῃ U. – ποῦς U, Ald. — [3] σ. Mack. — [4] προσεγένετο K. – περὶ pro πρὸ, restit. al. manu, D. – ὁμολογήσωσι ρ. – λανθάνειν vulg. – λανθάνει DFHIJX, Ops., Lind. – οὐδὲν om. (D, restit. al. manu) X. — [5] γν. μέλλοντα ρ. – τελευτήσῃ vulg. – τελευτήσει DHIJU, Ops. — [6] τὰ δὲ DHIJKU. — [7] ὅποι ἧσιν HIJ (J, εἶσιν) ρ, Ald., Frob., Ops. – ἧσιν U. – ἐπισκέφθαι F, Lind. — [8] ὁκοῖα τὰ (τε pro τὰ DFHIJKU, Ald., Frob., Ops., Lind.) vulg. – Je pense que τε a été changé en τὰ, et que τε est provenu d'une répétition inopportune de ce petit mot qui figure fréquemment dans les lignes voisines. – ἐπιγένηται κ. – τε καὶ κακὰ om. J. — [9] εἴδη HUρ. – εἰδείη J. – ἴδοι D. – ὅπως Uρ. – ἀποβήσοιτο J. — [10] εἰδείη J. – ὅπως vulg. – ὅκως D, Ops. — [11] σ. ρ, Mack. — [12] λευκὰ ἢ μέλανα ἢ ἐρυθρὰ J. — [13] μιξόχροον J. – μιξόχλωρα U. – χρῶμα, supra lin. σῶμα, ρ. – πεφύκοι D. —

chez qui les yeux ont éprouvé une distorsion subite, ou chez qui est survenu quelque accident plus grave, ou à qui des tumeurs se sont formées sous le cou, ou dont la voix est devenue plus grêle, ou qui sont affectés de toux sèche chronique, ou qui, ayant grandi, ressentent de la douleur dans le ventre sans dérangement, ou qui ont des distorsions dans les côtés ou des varicosités de grosses veines au ventre, ou chez qui l'épiploon descend, ou chez qui un testicule est devenu gros, ou chez qui un bras a perdu l'embonpoint et la force, ou chez qui soit un pied soit un membre inférieur entier a été frappé d'impuissance, chez tous ceux-là il faut savoir que la maladie a précédé ces accidents ; la plupart de ceux qui élèvent les enfants, interrogés, en conviendront ; d'autres sont dans l'ignorance là-dessus et disent qu'à leur connaissance rien de pareil n'a eu lieu.

11. (*Des ulcérations, des tumeurs qui s'ulcèrent, des affections ulcéreuses, et du pronostic général de ces lésions. Remarque sur une ulcération particulière de la langue.*) Celui qui veut savoir, au sujet des ulcérations, comment chacune se terminera, doit d'abord reconnaître, parmi les dispositions individuelles, les meilleures et les pires pour les plaies ; puis apprendre les âges où chacune des plaies est de difficile guérison ; ensuite examiner combien les régions du corps diffèrent les unes des autres ; enfin être instruit de toutes les autres conditions bonnes et mauvaises qui appartiennent à chaque cas. Sachant tout cela, on saura en même temps quelle issue aura chaque plaie ; ignorant cela, on ignorera aussi quelles issues les plaies auront. Voici les bonnes dispositions : un corps svelte, proportionné, avec de bons viscères, n'ayant ni trop d'embonpoint ni trop de sécheresse, étant de coloration blanche ou noire ou rouge ; toutes ces colorations sont bonnes pourvu

[14] ἔμπυα γίνεται, καὶ τὰ vulg. - γίνεται me paraît rendre la phrase tout à fait obscure, et avoir été ajouté indûment par quelque copiste qui ne la comprenait pas. Je l'ai supprimé.

[1] χοιρώδεα, ταῦτα πλεῖστα τὰ παιδία ἴσχουσι, καὶ ῥᾷστα ἐξ αὐτέων ἀπαλλάσσει· τοῖσι δὲ γεραιτέροισί τε τῶν παιδίων καὶ νεηνίσκοισι φύεται μὲν ἐλάσσω, [2] χαλεπώτερον δὲ ἐξ αὐτέων ἀπαλλάσσουσι. Τοῖσι δὲ ἀνδράσι τὰ μὲν τοιαῦτα φύματα [3] οὐ κάρτα ἐπιγίνεται· τὰ δὲ κηρία δεινὰ, καὶ οἱ κρυπτοὶ καρκῖνοι οἱ ὑποβρύχιοι, καὶ οἱ ἐκ τῶν [4] ἐπινυκτίδων ἕρπητες, ἔστ' ἂν ἑξήκοντα ἔτεα συχνῷ ὑπερβάλλωσι. Τοῖσι δὲ γέρουσι τῶν μὲν τοιουτοτρόπων φυμάτων οὐδὲν ἐπιγίνεται· οἱ δὲ καρκῖνοι οἱ κρυπτοὶ καὶ οἱ ἀκρόπαθοι γίνονται, καὶ [5] ξυναποθνήσκουσιν. Τῶν δὲ χωρίων μασχάλαι δυσιητότεραι, καὶ κενεῶνές τε καὶ μηροί· [6] ὑποστάσιές τε γὰρ ἐν αὐτοῖσι γίνονται καὶ ὑποστροφαί. Τῶν δὲ περὶ ἄρθρα ἐπικινδυνότατοι οἱ μεγάλοι δάκτυλοι, καὶ μᾶλλον οἱ τῶν ποδῶν. Οἷσι δὲ τῆς γλώττης ἐν τῷ πλαγίῳ ἕλκος γίνεται πολυχρόνιον, καταμαθεῖν [7] τῶν ὀδόντων ἤν τις ὀξὺς τῶν κατ' αὐτό.

12. Τὰ δὲ [8] τρώματα θανατωδέστερα μὲν τὰ ἐς τὰς φλέβας τὰς παχείας [9] τὰς ἐν τῷ τραχήλῳ τε καὶ τοῖς βουβῶσιν, ἔπειτα [10] ἐς τὸν ἐγκέφαλον καὶ [11] ἐς τὸ ἧπαρ, ἔπειτα [12] τὰ ἐς ἔντερον [13] καὶ ἐς κύστιν. Ἔστι δὲ [14] ταῦτα πάντα, ὀλέθρια ἐόντα ἰσχυρῶς, οὐχ οὕτως ἄφυκτα ὡς δοκέει· τά τε γὰρ χωρία ὀνόματα ἔχοντα [15] ταὐτὰ μέγα διαφέρει, καὶ οἱ αὐτοὶ τρόποι. [16] Πολὺ δὲ διαφέρει τοῦ αὐτοῦ ἀνθρώπου τοῦ σώματος ἡ παρασκευή· ἔστι μὲν γὰρ ὅτε οὔτ' ἂν πυρετήνειεν [17] οὔτε φλεγμήνειε τρωθείς· ἔστι δ' ὅτε καὶ ἄνευ προφάσιος ἐπυρέτηνεν

[1] Χειρόδεα K. – χοιραδώδεα Lind. – τῶν παιδίων vulg. – Lisez τὰ παιδία. Le génitif a été mis parce qu'on a cru que πλεῖστα se rapportait à παιδία, tandis qu'il se rapporte à ταῦτα. — [2] χαλεπώτερα GK, Ald. — [3] ἐλάχιστα γίνεται pro οὐ κάρτα ἐπ. J. – καίρια, cum η supra αι, ρ. – Erot., p. 230, a : κηρίαι, κυρίως λέγονται αἱ πλατεῖαι ἕλμινθες. Mais cette glose ne paraît pas se rapporter à notre passage. — [4] ἐπινυκτερίδων, emend. al. manu, D. – It is plain from the description of this eruption left us by the best authorities that it consisted of phlyzacious pustules. Todd, Ecthyma, in the Cyclop. of practical Medic. – Ante ἕρπητες addunt οἱ DGHIJKUXρ. – ἔτ' ἂν pro ἔστ' ἂν DX. — [5] σ. Mack. — [6] ἀπ. (D, emend. al. manu) (H, al. manu) XP'Q'. — [7] Ante τῶν addit δεῖ J. — [8] τραύματα D. – τραυμάτων P'. — [9] τάς [τε] ἐν Lind., Mack. – τραχήλου Ald. — [10] Ante ἐς addunt τὰ Lind., Mack. – εἰς HUρ. — [11] εἰς J. — [12] τὰ om. X. – εἰς τὸ ἔντ. Lind. — [13] καὶ τὰ ἐς FHIJU. – ἐς om. H. — [14] πάντα ταῦτα Uρ. – ἄφικτα J. — [15] ταῦτα vulg. – Lisez ταὐτά. Car, si on gardait ταῦτα, la phrase serait incorrecte, puisque l'article manquerait. M. Daremberg, *OEuvres choisies d'Hipp.*, 2e édit.,

qu'elles soient sans mélange; mais si elles sont mêlées de jaune, ou jaunes ou livides, elles sont plus mauvaises. Toutes les dispositions contraires à celles qui viennent d'être indiquées doivent être considérées comme mauvaises. Quant aux âges, les tumeurs suppurantes et les scrofules sont très-communes chez les enfants, et ils en guérissent facilement; elles surviennent moins chez les enfants plus grands et chez les jeunes gens, mais ils s'en débarrassent plus malaisément. Chez les hommes ces tumeurs ne se voient guère; mais il faut redouter les favus, les cancers cachés et souterrains, les herpès, suite d'épinyctides, jusqu'à ce que les soixante ans soient de beaucoup dépassés. Chez les vieillards on ne voit aucune tumeur de ce genre; mais ils sont affectés de cancers cachés et superficiels, qui ne finissent qu'avec leur vie. Parmi les régions, les aisselles sont les plus difficiles à guérir, ainsi que les flancs et les cuisses; car il s'y fait des dépôts et des récidives. Quant aux membres, ce sont [parmi les doigts] les pouces qui font courir le plus de danger, et surtout les pouces des pieds. Chez ceux qui ont une ulcération de longue durée sur le côté de la langue, il faut examiner si, de ce même côté, quelqu'une des dents n'a pas une pointe.

12. (*Des blessures et des conditions de leur pronostic. L'auteur, comme en général les hippocratiques, conseille au chirurgien de ne pas se charger du traitement d'une blessure dont l'issue doit être funeste*). Parmi les blessures, les plus dangereuses sont celles des grosses veines au cou et aux aines, puis celles du cerveau et du foie, ensuite celles des intestins et de la vessie. Toutes ces blessures, bien que faisant courir les plus grands périls, ne sont pas aussi irrémédiables qu'elles le paraissent; en effet les régions portant les mêmes noms diffèrent

p. 639, voudrait qu'on lût ou οἱ τρόποι αὑτοὶ, ou plutôt οἱ τόποι αὑτοὶ, *les différentes parties dans les régions*. Cette correction devient inutile, du moment qu'à ταῦτα on substitue ταὐτὰ, puisque c'est la même idée qui se poursuit par le même mot. — [16] πουλὺ Lind., Mack. – αὐτοῦ τοῦ ἀνθρ. K'. — [17] οὔτ' ἂν φλ. DX.

ἂν, καὶ φλεγμανθείη τι τοῦ σώματος πάντως. [1] Ἀλλ' ὅτε ἕλκος ἔχων μὴ παραφρονέει [2] εὐπετέως τε φέρει τὸ τρῶμα, ἐγχειρέειν χρὴ τῷ τρώματι ὡς ἀποδησομένῳ κατὰ λόγον τῆς ἰητρείης τε καὶ τῶν ἐπιγινομένων. Ἀποθνήσκουσι μὲν γὰρ οἱ ἄνθρωποι ὑπὸ τρωμάτων παντοίων· πολλαὶ μὲν γὰρ φλέβες εἰσὶ [3] καὶ λεπταὶ καὶ παχεῖαι, αἵτινες αἱμοῤῥαγοῦσαι ἀποκτείνουσιν, ἢν αὐτῷ τύχωσιν ὀργῶσαι, ἃς ἐν ἑτέρῳ καιρῷ διακόπτοντες ὠφελέουσι τὰ σώματα. Πολλὰ δὲ τῶν [4] τρωμάτων ἐν χωρίοισί τε εἶναι εὐήθεσι καὶ οὐδέν τι δεινὰ φαινόμενα, οὕτως ὠδύνησεν ἡ πληγὴ ὥστε μὴ δύνασθαι [5] ἀναπνεῦσαι· ἄλλοι δὲ ὑπὸ τῆς ὀδύνης τοῦ τρώματος οὐδὲν δή τι δεινοῦ ἐόντος, τὸ μὲν πνεῦμα ἀνήνεγκαν, παρεφρόνησαν δὲ καὶ πυρετήναντες ἀπέθανον· ὅσοι γὰρ ἂν ἢ τὸ σῶμα πυρετῶδες [6] ἔχωσιν ἢ τὰς γνώμας θορυβώδεας, τὰ τοιαῦτα πάσχουσιν. Ἀλλὰ χρὴ μήτε ταῦτα θαυμάζειν, μήτε ὀῤῥωδέειν κεῖνα, εἰδότα ὅτι αἱ ψυχαί τε καὶ τὰ σώματα [7] πλεῖστον διαφέρουσιν αἱ τῶν ἀνθρώπων, καὶ δύναμιν ἔχουσι μεγίστην. Ὅσα μὲν οὖν τῶν [8] τρωμάτων καιροῦ ἔτυχεν, ἢ σώματός τε καὶ γνώμης τοιαύτης, ἢ ὀργῶντος οὕτω τοῦ [9] σώματος, ἢ μέγεθος τοσαῦτα [10] ἦν ὥστε μὴ δύνασθαι καταστῆναι τὸν ἄνθρωπον εἰς τὴν ἴησιν [11] καταφρονέοντα, τοῖσι μὲν ἐξί-

[1] Ἀλλ' ἢν (ἄλλην HIJUX; ἄλλος Ald.) (ἢν om. K') ὅ τε (ὅδε Lind.) ἕλκος ἔχων παραφρονέῃ (παραφρονέειν J; παραφρονέει DGHIXρ, Ald., Ops.; περιφρονέει conjicit Foes in not.) vulg. – Je pense qu'il faut adopter la correction de Cornarius consignée dans K', et supprimer ἤν. Cela conduit à changer ὅ τε en ὅτε. Ὅ τε en effet est mauvais; et Linden, qui l'a changé en ὅδε, l'avait senti. Puis ὅτε va avec les indicatifs que donnent la plupart des mss. Je me range aussi à Foes, quant à παραφρονέει. Seulement, au lieu de lire περιφρονέει, j'ajoute une négation, μή. L'omission de la négation μή est fréquente dans les mss. Voyez-en un exemple, p. 12, l. 20. — [2] εὐπετῶς K. – φέρῃ vulg. – φέρει DGHIJKUρ, Ald., Ops. – λόγων J. – ἰατρείης ρ. — [3] καὶ om. X. – αὐτοῦ K'. – ὀργῶσιν DFGHIUX (ρ, ὀργῶσαι, σι supra lin.), Ald., Frob., Ops. — [4] τραυμ. DHJU. – ἐγχωρίοισι HUρ. – δεινὸν φαινόμενον DX. – ὠδίνησεν HJKU. – ὀδύνησιν Ald., Frob. — [5] ἀναπαῦσαι Cod. unus ap. Foes in not. – Post ἀναπν. addunt μηδὲ ἀναπαῦσαι Lind., Mack. – τραύματος DJ. – δὲ pro δὴ I. – δὴ om. K. — [6] ἔχουσιν vulg. – ἔχωσιν DHIJKUρ. – πάσχωσιν ρ. – ὀρροδέειν ρ. — [7] πλείστην J. – πλεῖστα DX. — [8] τραυμ. DHU, Ald. – Au lieu de καιροῦ, M. Daremberg propose de lire χωρίου. Calvus paraît avoir lu καιροῦ καὶ χωρίου ἐπικινδύνου, traduisant : Vulnera cum temporis occasionem non commodam locumve periculosum nanciscuntur. Cependant lisez dans le Dict. de Schneider, au mot καίριος, les exemples : ἐς καιρὸν τυπείς, Eurip., Andr. 1116, et τὸ εἰς καιρὸν τοῦ τραύματος,

beaucoup ainsi que les mêmes modes des plaies. Ce qui diffère aussi beaucoup, c'est la disposition du corps chez le même sujet ; il est des cas où, blessé, il n'aura ni fièvre ni inflammation, et des cas où, sans cause, la fièvre le saisira et l'inflammation s'emparera tout à fait de quelqu'une des parties du corps. Mais quand le blessé n'a point de délire et supporte bien la blessure, il faut se charger de la plaie comme devant marcher en raison du traitement et de ce qui survient. Le fait est que l'on meurt par toute sorte de blessures. En effet il est beaucoup de veines, petites et grosses, qui tuent par hémorrhagie, si elles se trouvent en état d'orgasme, tandis qu'ouvertes dans un autre temps, elles procurent du soulagement. Mainte blessure paraissant être dans des lieux innocents et n'avoir rien de fâcheux, la douleur est si intense que le blessé ne peut respirer ; d'autres fois, la douleur d'une plaie qui n'offrait rien de fâcheux n'a point, il est vrai, empêché la respiration, mais le délire est survenu avec la fièvre, et le blessé a succombé ; ceux dont le corps est disposé à la fièvre ou l'esprit au dérangement éprouvent ces accidents. Mais il ne faut ni s'étonner de ces derniers accidents ni redouter outre

Philostr., Icon., III, 10, et l'on verra qu'ici καιρὸς peut signifier danger et être conservé. — [9] αἵματος L, unum exemplar vetustate eximium ap. Foes in not., Ops., Lind., Mack. — [10] ᾗ vulg. - ἧν DX. - ἦν HU, Ald. - ἐς Lind. — [11] καταφρονέοντα est un mot qui fait difficulté. Cornarius traduit : Ut homo ad curationem adduci ab ejus (vulneris) contemptu non possit. Opsopœus : Ut homo ignave sentiens curationem recipere non possit. Foes : Ut curatione sensuum integritas restitui nequeat. Il y a une glose de Galien sur ce passage même : καταφρονέοντα, τὸν ἀνέτως αἰσθανόμενον, ἐν τῷ μείζονι Προῤῥητικῷ. C'est cette glose qu'Opsopœus a suivie dans sa traduction : ignave sentiens. Mais, dans la Collection hippocratique, καταφρονεῖν n'a pas ce sens. Érotien, p. 210, a la glose : κατεφρόνεε, κατενόει ; et l'on trouve, employé ainsi, καταφρονήσῃ, *De la Nat. de la Femme*, § 3. De plus le texte de la glose de Galien est loin d'être assuré ; c'est H. Estienne qui a conjecturé ἀνέτως, et les mss. portent ἐνέτει ou ἐν ἔτει. En conséquence je conseille de lire ἐν ἔθει, la glose deviendra : καταφρονέοντα, τὸν ἐν ἔθει αἰσθανόμενον, Celui qui est dans l'état habituel de sensibilité, de connaissance. Ce qui permet de traduire notre passage conformément au sens ordinaire de καταφρονεῖν dans la Collection.

στασθαι χρὴ ὁποῖα ἂν ᾖ, πλὴν τῶν ἐφημέρων [1]λειποθυμιῶν· τοῖσι δ' ἄλλοισι πᾶσιν ἐπιχειρέειν, νεοτρώτοισιν ἐοῦσιν, ὡς ἂν τούς τε πυρετοὺς διαφεύγωσιν οἱ ἄνθρωποι καὶ τὰς αἱμοῤῥαγίας τε καὶ τὰς νομὰς [2]φυλασσόμενον. Ἀτρεκέστατα δὲ καὶ ἐπὶ πλεῖστον χρόνον τὰς φυλακὰς αἰεὶ τῶν δεινοτάτων ποιέεσθαι· καὶ γὰρ δίκαιον οὕτως.

13. Αἱ δὲ νομαὶ θανατωδέσταται μὲν ὧν αἱ σηπεδόνες[3] βαθύταται, καὶ μελάνταται, καὶ ξηρόταται· πονηραὶ δὲ καὶ ἐπικίνδυνοι ὅσαι μέλανα ἰχῶρα ἀναδιδοῦσιν· αἱ δὲ λευκαὶ καὶ μυξώδεες τῶν σηπεδόνων ἀποκτείνουσι μὲν ἧσσον, ὑποστρέφουσι δὲ μᾶλλον, καὶ χρονιώτεραι γίνονται. Οἱ [4]δ' ἕρπητες ἀκινδυνότατοι πάντων ἑλκέων ὅσα νέμεται, δυσαπάλλακτοι δὲ μάλιστα, κατά [5]γε τοὺς κρυπτοὺς καρκίνους. Ἐπὶ πᾶσι δὲ τοῖσι [6]τοιουτέοισι πυρετόν τε ἐπιγενέσθαι ξυμφέρει μίην ἡμέρην καὶ [7]πῦον ὡς λευκότατον καὶ παχύτατον· λυσιτελεῖ δὲ καὶ σφακελισμὸς νεύρου, [8]ἢ ὀστέου, [9]ἢ καὶ ἀμφοῖν, ἐπί γε τῇσι βαθείῃσι σηπεδόσι καὶ μελαίνῃσι· πῦον γὰρ ἐν τοῖσι σφακελισμοῖσι ῥεῖ πουλὺ καὶ λύει τὰς σηπεδόνας.

14. Τῶν δὲ ἐν [10]τῇ κεφαλῇ τρωμάτων θανατωδέστατα μὲν τὰ ἐς τὸν ἐγκέφαλον, ὡς καὶ προγέγραπται· δεινὰ δὲ καὶ τὰ τοιαῦτα πάντα, ὀστέον ψιλὸν μέγα, ὀστέον [11]ἐμπεφλασμένον, ὀστέον κατεῤῥωγός· εἰ

[1] Λυπ. U. — [2] περιεσομένων vulg.- Opsop. dit dans ses notes: Hyperbaton est; melius fuisset περιεσόμενοι. Je ne puis admettre l'hyperbate d'Opsop.; et, quant à περιεσόμενοι, qui serait correct, on ne voit pas ce que ferait ce participe avec διαφεύγωσι. La marche de la phrase indique un participe se rapportant au médecin et signifiant: ayant soin, veillant à. Ce participe me paraît être indiqué par τὰς φυλακὰς qui est à la ligne suivante. Je lis donc φυλασσόμενον.-ἀεὶ J.— [3] βαθύτατοι J.-ἀναδίδουσιν Up.-ἀναδιδόασιν J.-ἀποτείνουσι Lind. — [4] δὲ J, Lind.-νέμηται U.-δυσαπάλλακτα J. — [5] γε om. J.-τε DX.-Opsopœus remarque que les traducteurs traduisent: conformément à, et que peut-être on devrait entendre κατά γε comme une forme ionique pour καθά γε; quant à lui, il pense que κατὰ est ici l'équivalent de μετὰ, après. M. Daremberg adopte ce sens, toutefois il en propose aussi un autre, à savoir: Les herpès.... mais surtout ceux qui se développent sur les cancers occultes. Pour moi, je pense qu'il faut suivre les premiers traducteurs, κατὰ étant ici employé comme dans λευκὸς κατὰ χιόνα, blanc comme la neige. — [6] τουτέοισι J.-ἐπιγίνεσθαι Jα, Lind.-συμφ. Mack. — [7] πύελον ρ.-μίην pro πῦον J.-πύον Ald., Lind. — [8] ἢ καὶ (καὶ om. JK) ὀστ. vulg. — [9] ἢ om. K.-τε (τε om. DX) vulg.-Lisez γε.-πύον Ald., Lind. — [10] τῇ DGHIJKρ, Ald.-τρομάτων Ald. — [11] ἐμπεπλασμένον vulg.-ἐγκεκλασμένον editio Morelliana.-ἐμπεφλασμένον Ops.,

mesure les premiers, sachant bien que les corps ainsi que les âmes diffèrent beaucoup et ont une très-grande influence. Donc, toutes les blessures qui, soit, comme il vient d'être dit, par un état du corps ou de l'âme, ou par un état d'orgasme, soit par la grandeur, sont assez graves pour que le sujet ne puisse, reprenant ses sens, être disposé au traitement, il faut les abandonner (*Des Fract.*, § 16), quelles qu'elles soient, sauf les lipothymies éphémères. Le médecin doit se charger du traitement de toutes les autres, quand elles sont récentes, veillant à ce que les patients échappent aux fièvres, aux hémorrhagies et aux affections serpigineuses. C'est dans les blessures les plus graves que la vigilance doit toujours être (cela est bien entendu) le plus attentive et durer le plus longtemps.

13. (*Des affections serpigineuses, et entre autres de la pourriture ; pronostic.*) Les affections serpigineuses les plus funestes sont celles où les pourritures sont les plus profondes, les plus noires et les plus sèches ; mauvaises aussi et périlleuses sont celles qui rendent un ichor noir. Celles des pourritures qui sont blanches et muqueuses tuent moins, mais récidivent davantage et se prolongent. De toutes les plaies serpigineuses, les herpès sont les plus exempts de danger, mais aussi les plus tenaces, comme les cancers cachés. Dans tous les cas une fièvre qui survient pendant un jour est avantageuse ainsi que du pus très-blanc et très-épais. Avantageux aussi est le sphacèle d'une partie nerveuse, d'un os ou de tous les deux, du moins dans les pourritures profondes et noires ; car, dans les sphacèles, il s'écoule un pus abondant qui résout les pourritures.

14. (*Pronostic dans les plaies de tête.*) Des plaies de tête, les plus funestes sont celles qui pénètrent dans le cerveau, comme il a été écrit ci-dessus. Ce sont encore des accidents graves qu'un os dénudé dans une grande étendue, un os enfoncé, un os brisé. Si l'ouverture de la plaie est petite et que la fente de

Lind. – Cette correction d'Opsopœus, qui est approuvée par Foes, est excellente.

δὲ καὶ τὸ στόμα τοῦ ἕλκεος σμικρὸν εἴη, ἡ δὲ [1] ῥωγμὴ τοῦ ὀστέου ἐπὶ πολὺ παρατείνοι, ἐπικινδυνότερόν ἐστι· ταῦτα δὲ πάντα δεινότερα γίνεται καὶ [2] κατὰ ῥαφήν τε ὄντα, καὶ τῶν χωρίων αἰεὶ τὰ ἐν τοῖσιν ἀνωτάτω τῆς κεφαλῆς. Πυνθάνεσθαι δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀξίοις λόγου τρώμασιν, ἢν ἔτι νεότρωτοι αἱ πληγαὶ ἔωσιν, [3] εἰ βλήματα εἴη, [4] ἢ κατέπεσεν ὥνθρωπος, ἢ εἰ ἐκαρώθη· [5] ἢν γάρ τι τούτων ᾖ γεγονὸς, φυλακῆς πλείονος δεῖται, ὡς τοῦ ἐγκεφάλου ἐσακούσαντος τοῦ τρώματος. Εἰ δὲ μὴ νεότρωτος εἴη, ἐς τἄλλα σημεῖα σκέπτεσθαι καὶ βουλεύεσθαι. Ἄριστον μὲν οὖν μήτε πυρετῆναι [6] μηδαμᾶ τὸν τὸ ἕλκος ἔχοντα ἐν τῇ κεφαλῇ, μήθ' αἷμα ἐπαναῤῥαγῆναι αὐτῷ, [7] μήτε φλεγμονὴν μηδεμίην ἢ ὀδύνην ἐπιγενέσθαι· εἰ δέ τι τούτων ἐπιφαίνοιτο, ἐν ἀρχῇσί τε γίνεσθαι ἀσφαλέστατον, καὶ ὀλίγον χρόνον παραμένειν. [8] Ξυμφέρει δὲ ἐν τῇσιν ὀδύνῃσι καὶ τῇσι φλεγμονῇσι τὰς ἐπὶ τοῖσιν ἕλκεσιν ἐπιγίνεσθαι, τῇσι δ' αἱμοῤῥαγίῃσι πῦον ἐπὶ τῇσι φλεψὶ φαίνεσθαι· τοῖσι δὲ πυρετοῖσιν ἃ ἐν τοῖσιν ὀξέσι νοσήμασιν ἔγραψα [9] ξυμφέρειν ἐπὶ τούτοισι γενέσθαι, ταῦτα καὶ ἐνθάδε λέγω ἀγαθὰ εἶναι, τὰ δ' ἐναντία κακά. Ἄρξασθαι δὲ πυρετὸν ἐπὶ κεφαλῆς [10] τρώσει τεταρταίῳ, ἢ ἑβδομαίῳ, ἢ ἑνδεκαταίῳ, θανατῶδες [11] μάλα. Κρίνεται δὲ τοῖσι πλείστοισιν, ἢν μὲν τεταρταίου ἐόντος τοῦ ἕλκεος πυρετὸς ἄρξηται, ἐς τὴν ἑνδεκάτην· [12] ἢν δ' ἑβδομαῖος ἐὼν πυρετήνῃ, ἐς τὴν

[1] Ῥογμὴ HJU, Ald.–πουλὺ Lind., Mack.–παραμένοι D.–παραμείνοι vulg.– παραμείνοι ne me semble pas pouvoir être conservé. Cornarius et Opsopœus traduisent : rima diu permanserit. C'est en effet ce que signifie le grec. Mais l'auteur a certainement opposé l'étroitesse de l'ouverture de la plaie à l'étendue de la fissure. C'est ce qu'a vu Foes, qui met : fissura longe pertingat. Mais παραμείνοι n'a pas ce sens. Cela m'a décidé à lire παρατείνοι, bien qu'on ne trouve, à ce qu'il paraît, l'actif παρατείνειν avec le sens de s'étendre que dans Strabon et Josèphe. — [2] καταροφῆν GHIKU.– καταρροφῆν J (ρ, in marg. ῥαφήν τε).–ἀεὶ J. — [3] ἢ vulg.–Je lis εἰ, à cause de εἴη, et à cause aussi que βλήματα n'est pas une alternative de νεότρωτοι. — [4] εἰ pro ἢ HIUρ, Frob., Ops.–ὤνθρωπος vulg.–ὥνθρωπος Lind.–ἐκαρώθη Ops., Lind.–ἐχαρωθῇ (sic) Mack.–ἐκκαρωθῇ vulg.–ἐκκαῤῥωθῇ Uρ.– ἐκαρώθη est une correction d'Opsopœus. — [5] εἰ J.–ἐστὶ pro ᾖ J. — [6] μηδ' ἅμα HIUρ; μήθ' ἅμα DFGJK, Ald.–Lisez μηδαμᾶ.–μηδ. om. vulg. — [7] μηδὲ vulg.–μήτε Jρ, Lind., Mack.–φλεγμ. μήθ' ἅμα (μήθ' ἅμα om. DFGHIJKUρ, Ald.) μηδεμίην ὀδύνην vulg.–Je supprime, avec les mss., μήθ' ἅμα, qui d'ailleurs ne va pas bien, et j'ajoute, avant ὀδύνην, ἢ qui me semble nécessaire et qui a pu si facilement tomber. — [8] σ. Mack.–καὶ

l'os s'étende au loin, le péril est plus grand. C'est encore une circonstance aggravante que la fracture intéresse une suture et qu'elle s'étende vers les parties supérieures de la tête (*Des plaies de tête*, § 2). Dans toutes les lésions de quelque importance à la tête, on s'informera si elles sont récentes, si elles sont dues à un instrument de jet, si le patient est tombé sur le coup, s'il a été jeté dans la stupeur (*Ib.*, § 11). Dans le cas où quelqu'une de ces circonstances existe, plus de soin est exigé, vu que le cerveau s'est ressenti de la blessure. Si la lésion n'est pas récente, on recherchera et prendra en considération les autres signes. Le mieux est que le sujet blessé à la tête ne soit pris ni de fièvre, ni d'hémorrhagie, ni d'inflammation, ni de douleur ; si quelqu'un de ces accidents survenait, il y aurait le plus de sûreté à ce qu'ils survinssent au début et durassent peu de temps. Dans les douleurs et dans les inflammations, il est avantageux que ce soient celles des plaies ; dans les hémorrhagies, que du pus apparaisse sur les veines ; quant aux fièvres, les conditions que, dans les maladies aiguës, j'ai écrit être utiles, je dis qu'ici aussi elles sont bonnes, et que les conditions contraires sont mauvaises. Commencer à avoir la fièvre, dans une plaie de tête, le quatrième jour, ou le septième, ou le onzième, est très-funeste. Ces lésions se jugent, si la fièvre commence le quatrième jour de la plaie, au onzième ; si la fièvre commence le septième, au quatorzième ou au dix-septième ; si elle commence le onzième, au vingtième, comme il a été exposé dans les fièvres survenant sans causes manifestes.

τὰς φλεγμονὰς vulg. – Cette phrase, qui n'a pas excité les soupçons des traducteurs, ne me paraît pas intacte. Dans la phrase parallèle qui précède, l'auteur parle de l'inflammation et de la douleur comme épiphénomènes des plaies de tête ; il ne doit donc pas ici parler de l'inflammation comme succédant à la douleur. De plus le καὶ n'a pas de sens. Je pense donc qu'il faut lire τῇσι φλεγμονῇσι, l'accusatif ayant été attiré par le τὰς suivant. – ἐν pro ἐπὶ J. – πύον Ald., Lind. – νουσ. Lind., Mack. — [9] ξυμφέρει vulg. – ξυμφέρειν DFGI (J, σ.) K'. — [10] τρώματι HXLP'α, Lind., Mack. – τραύματι D. – τρῶτι IJK. — [11] μᾶλλον D (H, supra lin. μάλα) XUP'Q'. – πλ. om. U. – δεκάτην DX. — [12] εἰ J. – δ' om. DHX. – τεσσαρακαιδεκάτην X.

τεσσαρεσκαιδεκάτην ἢ ἑπτακαιδεκάτην· ἢν δὲ τῇ ἑνδεκάτῃ [1] ἄρξηται πυρεταίνειν, ἐς τὴν εἰκοστὴν, ὡς ἐν τοῖσι πυρετοῖσι διαγέγραπται [2] τοῖς ἄνευ προφάσεων ἐμφανέων γινομένοισι. Τῇσι [3] δ' ἀρχῇσι τῶν πυρετῶν ἤν [4] τε παραφροσύνη ἐπιγένηται, ἤν τε ἀπόπληξις τῶν μελέων τινὸς, εἰδέναι τὸν ἄνθρωπον ἀπολλύμενον, [5] ἢν μὴ παντάπασιν ἢ τῶν καλλίστων τι σημείων ἐπιγένηται, ἢ σώματος ἀρετὴ ὑπόκειται· [6] [ἀλλ' ὑποσκεπτέσθω τὸν τρόπον τῷ ἀνθρώπῳ·] ἔτι γὰρ αὕτη ἡ ἐλπὶς γίνεται σωτηρίης, χωλὸν δὲ γενέσθαι τὸ ἄρθρον ἐς ὃ ἀπεστήριξεν, ἀναγκαῖόν ἐστιν, ἢν ἄρα καὶ περιγένηναι ὁ ἄνθρωπος.

15. Τὰ δὲ τρώματα τὰ ἐν τοῖσιν ἄρθροισι μεγάλα μὲν [7] ἐόντα καὶ τελέως ἀποκόπτοντα τὰ νεῦρα [8] τὰ συνέχοντα, εὔδηλον ὅτι χωλοὺς ἀποδείξει. Εἰ δὲ ἐνδοιαστὸν εἴη [9] ἀμφὶ τῶν νεύρων, ὅπως ἔχοι, ὀξέος μὲν ἐόντος τοῦ βέλεος τοῦ ποιήσαντος, ὀρθὸν τὸ τρῶμα [10] εἰδέναι ἄμεινον ἐπικαρσίου· εἰ δ' εἴη βαρύ τε καὶ ἀμβλὺ τὸ τρῶσαν, οὐδὲν διαφέρει· ἀλλ' [11] ἐς τὸ βάθος τε τῆς πληγῆς σκέπτεσθαι καὶ τἄλλα [12] σημεῖα. Ἔστι δὲ τάδε· πῦον ἢν ἐπιγένηται ἐπὶ τὸ ἄρθρον, σκληρότερον ἀνάγκη γενέσθαι· ἢν δὲ καὶ οἰδήματα [13] συμπαραμείνῃ, σκληρὸν ἀνάγκη πουλὺν χρόνον τοῦτο τὸ χωρίον γίνεσθαι, καὶ τὸ οἴδημα, ὑγιέος ἐόντος τοῦ ἕλκεος, [14] παραμένειν· καὶ βραδέως ἀνάγκη συγκάμπτεσθαί τε καὶ ἐκτείνεσθαι ὁκόσα ἂν τοῦ ἄρθρου χαμπύλου ἐόντος [15] θεραπεύηται.

[1] Ἄρ. om. X. — [2] τοῖσιν Lind., Mack. -προφάσιων Lind., Mack. — [3] δ' ἐν ἀρχ. vulg. - Cet ἐν, qui ne se trouve ni dans les mss. ni dans les éditions antérieures, est une faute de Foes, répétée par Lind. — [4] τε om. X. -ἀπόπληξιν U. -ἀπολύμενον X. — [5] εἰ J. -σημεῖον vulg. -σημείων K. -ἐπιγ. om., restit. al. manu, H. -ἀρετῇ DJ. -ὑποκέηται L, Ops., Lind., Mack. - Cette correction est inutile, la forme de l'indicatif servant aussi pour le subj.; voy. Matthiæ, au mot κεῖμαι. — [6] ἀλλ' ὑποσκεπτέσθω (ὑπεσκεψέσθω sic Q'; ἐπισκεψάσθω J; ὑποσκεψάσθω Lind., Mack.; ὑπέσκεψο K') τὸν τρόπον. Τῷ ἀνθρώπῳ (τῶν ἀνθρώπων K) ἔτι γὰρ (γὰρ ἔτι Ops., Lind.) αὐτὴ (αὕτη DH; ἄν τις pro αὐτὴ Lind.) γίνεται (γίνοιτο Lind.) σωτηρίας (σωτηρίης HJ, Ops., Lind., Mack.) vulg. - Les mss. ôtent le point après τρόπον, et le mettent après ἀνθρώπῳ. Opsopœus dit en note : posset legi τὸν τρόπον τοῦ ἀνθρώπου· ἔτι γὰρ αὐτῷ ἐλπὶς κτλ.; et il ajoute : forsan scripsit Hippocrates τῷ ἀνθρώπῳ γὰρ ἔτι ἄν τις ἐλπὶς γίνοιτο σωτηρίης. On voit d'où proviennent les corrections de Lind. Les conjectures d'Opsopœus ne me paraissent pas bonnes; ἀλλ' s'y oppose; avec ce sens il faudrait οὖν : ὑποσκεψάσθω (ou plutôt ἐπισκεψάσθω donné d'ailleurs par un mss.) οὖν.... Quant à moi, dans l'état du texte, il me semble que ἀλλ'.... ἀνθρώπῳ est quelque glose altérée qui a passé, par erreur, dans le texte. En effet, supprimez cette

Au début de la fièvre, si le délire éclate, si quelque membre est frappé de paralysie, sachez que le patient succombera, à moins, absolument, qu'il ne survienne quelqu'un des signes les plus favorables ou qu'il ne soit soutenu par une bonne constitution : car il y a encore cette chance de salut ; mais, nécessairement, le membre où le mal s'est fixé sera impotent, si toutefois le patient réchappe.

15. (*Du pronostic dans les plaies des membres. Signes de l'exfoliation d'un tendon, d'un os. Gravité des lésions du coude.*) Les plaies des membres qui sont grandes et qui tranchent complétement les nerfs (tendons) servant de moyen d'union feront manifestement que le patient sera estropié. S'il y a doute sur l'état des nerfs, l'instrument vulnérant étant aigu, sachez qu'une plaie longitudinale vaut mieux qu'une plaie transversale ; la chose est indifférente si l'instrument est pesant et mousse ; mais il faut considérer la profondeur de la plaie et les autres signes. Voici ces signes : si du pus se forme au membre, nécessairement le membre deviendra plus roide ; si en outre des tuméfactions concomitantes y persistent, nécessairement l'en-

incise, et vous trouvez un sens bien suivi. Aussi, mettant ces mots entre crochets, je les supprime de fait et ne les traduis pas. Seulement, je prends αὕτη, et j'ajoute l'article qui manque. — [7] ὄντα vulg. - ἐόντα J. — [8] τὰ om. K. — [9] ἀπὸ J. - ἔχει ρ. - ὀξέως J. - ὄντος J. - μέλεος pro β. GJK. — [10] εἶναι (ἐστὶν K') vulg. - Au lieu de εἶναι, lisez εἰδέναι. - ἐπικαρσίαν D. — [11] ἔστι JLα. - ἔς τε exemplaria quædam mss. ap. Foes in not. - ἐς τὸ Lind. - ἔσται vulg. - La correction de Lind. paraît la bonne. — [12] σημεῖον FGIJUρ. - πύον Lind. — [13] ξ. Lind. - συμπαραμείνοι JU. - τοῦτο τὸ χ. πουλὺν χρ. J. — [14] παραμένειν (addit καὶ βραδέως in marg. H) ἀνάγκη, συγκ. τε καὶ ἐκτ. (addunt βραδέως Lind., Mack) ὁκόσα vulg. - La marge de H donne une excellente correction ; et il faut commencer un nouveau membre de phrase à καὶ βραδέως. — [15] θεραπεύεται KUρ. - Celse, V, 26 : Quamvis autem non abscissus nervus est, tamen si circa tumor durus diu permanet, necesse est et diuturnum ulcus esse, et sano quoque tumorem permanere ; futurumque est, ut tarde membrum id extendatur vel contrahatur ; major tamen in extendendo mora est, ubi recurvato articulo curatio adhibita est, quam in recurvando eo quod rectum continuerimus. D'après ce passage, Opsopœus conjecture qu'il y a quelque chose de sauté dans notre texte. Je ne le pense pas, après la restitution fournie par H. Seulement Celse a développé le passage hippocratique.

Οἷσι δ' ἂν καὶ [1] νεῦρον δοκέῃ ἐκπεσεῖσθαι, ἀσφαλεστέρως τὰ περὶ τῆς χωλώσιος ᾖ προλέγειν, ἄλλως τε καὶ [2] ἢν τῶν κάτωθεν νεύρων ᾖ τὸ ἐκλυόμενον· γνώσῃ δὲ [3] τοῖσι νεῦρον μέλλον ἐκπίπτειν, πῦον λευκόν τε καὶ παχὺ καὶ πουλὺν χρόνον ὑποῤῥεῖ· ὀδύναι τε καὶ φλεγμοναὶ γίνονται περὶ τὸ ἄρθρον ἐν ἀρχῇσι. Τὰ δ' αὐτὰ ταῦτα [4] γίνεται καὶ ὀστέου μέλλοντος ἐκπεσεῖσθαι. Τὰ δὲ ἐν τοῖσιν ἀγκῶσι διακόμματα ἐν φλεγμονῇ μάλιστα ἐόντα ἐς [5] διαπύησιν ἀφικνέεται καὶ τομάς τε καὶ καύσιας.

16. Ὁ δὲ νωτιαῖος μυελὸς [6] ἢν νοσέῃ [7] ἤν τε ἐκ πτώματος, ἤν τε ἐξ ἄλλης τινὸς προφάσιος, [8] ἤν τε ἀπὸ αὐτομάτου, τῶν τε σκελέων ἀκρατὴς γίνεται ὁ ἄνθρωπος, ὥστε μηδὲ θιγγανόμενος ἐπαΐειν, καὶ τῆς γαστρὸς καὶ τῆς κύστιος, ὥστε τοὺς μὲν πρώτους χρόνους μήτε κόπρον μήτε οὖρον διαχωρέειν, ἢν μὴ πρὸς [9] ἀνάγκην. Ὅταν δὲ παλαιότερον γένηται τὸ νόσημα, οὐκ ἐπαΐοντι τῷ ἀνθρώπῳ ἥ τε κόπρος διαχωρέει καὶ τὸ οὖρον· ἀποθνήσκει δὲ μετὰ ταῦτα οὐ πολλῷ ὕστερον χρόνῳ.

17. Ὧν δὲ ἐμπίπλαται αἵματος ἡ φάρυγξ, [10] πολλάκις τῆς ἡμέρης τε καὶ τῆς νυκτὸς ἑκάστης, οὔτε κεφαλὴν προαλγήσαντι, οὔτε βηχὸς [11] ἐχούσης, οὔτε ἐμέοντι, οὔτε πυρετοῦ λαμβάνοντος, οὔτε ὀδύνης ἐχούσης οὔτε τοῦ στήθεος οὔτε τοῦ μεταφρένου, [12] τούτων κατιδεῖν ἐς

[1] Νεύρων J. – δοκέει vulg. – δοκέῃ J, Kühn. – δοκέοι D. – ἀσφαιλεστέρως Ald. – τῆς HIJK, Ald., Lind., Mack. – τῆς om. vulg. – Ne faudrait-il pas lire εἴη au lieu de ᾖ? — [2] ἢν [τι] τῶν Lind., Mack. – τὸ κάτωθεν νεῦρον α. – κάτω H. – τι pro τὸ K', Mack. — [3] τούτοισι Lind. – τοῖσι paraît être ici pour τούτοισι; voy. plus bas, p. 44, l. 12, ἐν τοῖσι. – ὑποῤῥέει Mack. – ὀδῦναι J, Ald., Frob. — [4] γίνονται ρ. – ἐκπείσεσθαι HU. — [5] διὰ πυήσιν J. – ἀφικέεται Frob. — [6] εἰ νοσέει J. — [7] εἴ τε DGHIJKUρ – τρώματος pro πτ. X. — [8] ἤν τε ἀ. α. om. X. – ἀπ' Lind., Mack. – ἀκροατὴς J. — [9] ἀνάγκης DFGHJKUXρ. – Kühn a ici καὶ au lieu de δὲ, par une faute de typographie. – νόσημα ρ, Ops. – νούσ. vulg. – ἐπιόντι vulg. – ἐπείγοντι K'. – ἐπαΐοντι DX, Lind., Mack. – διαχωρέει.... χωρίων, p. 48, l. 1, om. J. – Il y a là, dans ce ms., un espace vide d'une demi-page. — [10] Post π. addunt γὰρ DK'Q'. — [11] οὔσης ρ. – οὔτε ἐμέοντι.... ἐχούσης om. K. — [12] τούτου vulg. – Ops. conseille de lire τούτων; il a raison. – ἢν ἕλκος vulg. – ἢν γὰρ ἕλκος FGHIUP'Q'. – ἢ γὰρ ἕλκος DKρ. – φανῆται vulg. – φανεῖται DKρ, Mack. – βδέλλης K. – βδέλαν Up. – Gal. Gloss. : βδέλλῳ (lisez βδέλλαν) ἐν τῷ μείζονι Προῤῥητικῷ καὶ δευτέρῃ (lisez δευτέρῳ) πρός τινων ἐπιγραφομένων (lisez ἐπιγραφομένῳ), τὴν κιρσώδη φλέβα φησὶν οὕτως ὠνομάσθαι Διοσκουρίδης. Ἐμοὶ δὲ δοκεῖ κυρίως εἰρῆσθαι τοὔνομα κατ' αὐτοῦ τοῦ ζώου. Καὶ γὰρ παρέτυχόν ποτε

droit demeurera roide longtemps, et la tuméfaction se prolongera après la guérison de la plaie ; et nécessairement aussi la flexion et l'extension reviendront avec lenteur dans les membres qui auront été traités en une position fléchie. Dans les cas où un nerf (tendon) paraît devoir se mortifier, on peut avec plus de sûreté prédire que le sujet sera estropié, surtout si le nerf qui se détache appartient aux membres inférieurs. On connaîtra par ceci qu'un nerf va s'exfolier : il s'écoule un pus blanc, épais et pendant longtemps (*des Fract.*, § 28); et dans le début il survient au membre des douleurs et des inflammations. Les mêmes symptômes se montrent quand un os doit s'exfolier. Les plaies dans les coudes, étant très-sujettes à s'enflammer, viennent aux suppurations, aux incisions, aux cautérisations.

